καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει·
βουλεύοντες ἐν συνέσει αὐτῶν,
ἀπηγγελκότες ἐν προφητείαις·
4 ἡγούμενοι λαοῦ ἐν διαβουλίοις
καὶ συνέσει γραμματείας λαοῦ,
σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν·
5 ἐκζητοῦντες μέλη μουσικῶν
καὶ διηγούμενοι ἔπη ἐν γραφῇ·
6 ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύι,
εἰρηνεύοντες ἐν κατοικίαις αὐτῶν·
7 πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν,
καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
8 εἰσὶν αὐτῶν οἳ κατέλιπον ὄνομα
τοῦ ἐκδιηγήσασθαι ἐπαίνους·
9 καὶ εἰσὶν ὧν οὐκ ἔστιν μνημόσυνον
καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες
καὶ ἐγένοντο ὡς οὐ γεγονότες
καὶ τὰ τέκνα αὐτῶν μετ᾽ αὐτούς.
10 ἀλλ᾽ ἢ οὗτοι ἄνδρες ἐλέους,
ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν·
11 μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ,
ἀγαθὴ κληρονομία ἔκγονα αὐτῶν·
12 ἐν ταῖς διαθήκαις ἔστη τὸ σπέρμα αὐτῶν
καὶ τὰ τέκνα αὐτῶν δι᾽ αὐτούς·
13 ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν,
καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται·
14 τὰ σώματα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη,
καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς·
15 σοφίαν αὐτῶν διηγήσονται λαοί,
καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία.
16 Ενωχ εὐηρέστησεν κυρίῳ καὶ μετετέθη
ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς.
17 Νωε εὑρέθη τέλειος δίκαιος,
ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα·
διὰ τοῦτον ἐγενήθη κατάλειμμα τῇ γῇ,
ὅτε ἐγένετο κατακλυσμός·

$3^{3}$ βουλευοντες compl.] -ευσονται B†, -ευονται S, -ευεται A†, -ευται compl. | $3^{4}$ προφηταις S* || $4^{2}$ και] + εν S | γραμματ⟨ε⟩ιαις S† | $4^{3}$ λογοι εν] εν λογοις A(†) || $5^{2}$ και > B† || $6^{1}$ ισχυι] pr. εν SA | $6^{2}$ παροικιαις B† || $8^{1}$ κατελ.] pr. εν S* || $9^{2}$ υπαρξοντες S*† || $11^{2}$ εκγονα] pr. τα S || $12^{1}$ το > B | $12^{2}$ δι] μετ Sc || $13^{1}$ μενει] pr. δια Sc | $13^{2}$ εξαλειφθ.] εγκαταλειφθ. SA† || $14^{1}$ το σωμα B† || $15^{2}$ επαινον] + αυτων A | εξαγγελει A || $17^{3}$ τουτον Ra.] ν > mss. | $17^{4}$ οτε] δια τουτο B† | κατακλ.] pr. ο A